25/12/2021

Απόστολος και Ευαγγέλιο Χριστουγέννων

/ Επικαιρότητα

Ευαγγελική περικοπή

Κατά Ματθαίον Β’ (2) 1-12

Τοῦ δὲ ᾽Ιησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς ᾽Ιουδαίας ἐν ἡμέραις ῾Ηρῴδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς ῾Ιεροσόλυμα
λέγοντες· ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν ᾽Ιουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ.
᾽Ακούσας δὲ ῾Ηρῴδης ὁ βασιλεὺς ἐταράχθη καὶ πᾶσα ῾Ιεροσόλυμα μετ᾽ αὐτοῦ,
καὶ συναγαγὼν πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ ἐπυνθάνετο παρ᾽ αὐτῶν ποῦ ὁ Χριστὸς γεννᾶται.
οἱ δὲ εἶπον αὐτῷ· ἐν Βηθλεὲμ τῆς ᾽Ιουδαίας· οὕτω γὰρ γέγραπται διὰ τοῦ προφήτου·

καὶ σὺ Βηθλεέμ, γῆ ᾽Ιούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν ᾽Ιούδα· ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν ᾽Ισραήλ.
Τότε ᾽Ηρῴδης λάθρα καλέσας τοὺς μάγους ἠκρίβωσε παρ᾽ αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος,
καὶ πέμψας αὐτοὺς εἰς Βηθλεὲμ εἶπε· πορευθέντες ἀκριβῶς ἐξετάσατε περὶ τοῦ παιδίου, ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ.
οἱ δὲ ἀκούσαντες τοῦ βασιλέως ἐπορεύθησαν· καὶ ἰδοὺ ὁ ἀστὴρ ὃν εἶδον ἐν τῇ ἀνατολῇ προῆγεν αὐτούς, ἕως ἐλθὼν ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον·
ἰδόντες δὲ τὸν ἀστέρα ἐχάρησαν χαρὰν μεγάλην σφόδρα,
καὶ ἐλθόντες εἰς τὴν οἰκίαν εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ, καὶ πεσόντες προσεκύνησαν αὐτῷ, καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν προσήνεγκαν αὐτῷ δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν·
καὶ χρηματισθέντες κατ᾽ ὄναρ μὴ ἀνακάμψαι πρὸς ᾽Ηρῴδην, δι᾽ ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν.

Ερμηνευτική απόδοση Παναγιώτη Τρεμπέλα

1 Όταν δέ ο Ιησούς εγεννήθη εις τήν Βηθλεέμ τής Ιουδαίας κατά τάς ημέρας τού βασιλέως Ηρώδου ιδού σοφοί αστρολόγοι από τά μέρη τής ανατολής ήλθαν εις τά Ιεροσόλυμα

2 2 καί είπαν Πού είναι ο βασιλεύς τών Ιουδαίων, πού τώρα τελευταίως εγεννήθη; Διότι είδαμεν τόν αστέρα του τήν ώραν, πού μέ τήν ανατολήν του έδιδεν είδησιν διά τήν γέννησιν τού νέου βασιλέως καί ήλθαμεν νά τόν προσκυνήσωμεν.

3 3 Όταν όμως ο βασιλεύς Ηρώδης ήκουσε τόν λόγον αυτόν, πού είπαν οι μάγοι, εταράχθη, επειδή εφοβήθη, μήπως ο νέος βασιλεύς γίνη αντίζηλός του.Συγχρόνως όμως εταράχθησαν μαζί μέ αυτόν καί οι κάτοικοι όλης τής πόλεως τών Ιεροσολύμων, επειδή εφοβήθησαν, μήπως η στενοχωρία τού σκληρού Ηρώδου ξεσπάση εις αυτούς.

4 Καί αφού εμάζευσεν ο Ηρώδης όλους τούς αρχιερείς καί τούς γραμματείς τού λαού, πού εθεωρούντο γνώσται καί διδάσκαλοι τού νόμου, εζήτει νά μάθη από αυτούς, εις ποίον μέρος σύμφωνα μέ τάς προφητείας επρόκειτο νά γεννηθή ο Χριστός, ο Μεσσίας δηλαδή καί βασιλεύς τού Ισραήλ.

5 Αυτοί δέ τού είπαν γεννάται εις τήν Βηθλεέμ τής Ιουδαίας, διότι έτσι έχει γραφή από τόν Θεόν διά μέσου τού προφήτου Μιχαίου

6 Καί σύ, Βηθλεέμ, πού περιλαμβάνεσαι εις τήν χώραν τής φυλής τού Ιούδα, μολονότι φαίνεσαι χωρίον μικρόν, δέν είσαι όμως καθόλου η πλέον ασήμαντος από τάς πρωτευούσας πόλεις, πού ηγεμονεύουν εις τήν χώραν τής φυλής τού Ιούδα.Καί

δέν είσαι η πλέον,μικρά, διότι από σέ θά βγή άρχων, ο οποίος θά ποιμάνη τόν λαόν μου τόν Ισραήλ.

Επιστολή Αποστόλου Παύλου – Προς Γαλάτες, Δ'(4) 4-7

ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον,
ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.
῞Οτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον· ἀββᾶ ὁ πατήρ.
ὥστε οὐκέτι εἶ δοῦλος, ἀλλ’ υἱός· εἰ δὲ υἱός, καὶ κληρονόμος Θεοῦ διὰ Χριστοῦ.

Νεοελληνική Απόδοση

Όταν όμως ήρθε το πλήρωμα του χρόνου, ο Θεός απέστειλε προς τα έξω τον Υιό του, που γεννήθηκε από γυναίκα και που ήταν κάτω από το νόμο,
για να εξαγοράσει αυτούς που είναι κάτω από το νόμο, ώστε να λάβουμε την υιοθεσία.
Και επειδή είστε γιοι, ο Θεός απέστειλε προς τα έξω το Πνεύμα του Υιού του στις καρδιές μας, που φωνάζει: «Αββά, Πατέρα».
Ώστε δεν είσαι πια δούλος, αλλά γιος. και αν είσαι γιος, είσαι και κληρονόμος μέσω του Θεού.